καὶ οἱ τοῦτο κυρώσαντες οὐδὲ διᾶραι στόμα τολμῶσιν ὑπὲρ αὐτοῦ. Ὁ γοῦν καλόγηρος αὐτοῦ τοῦ ὑμετέρου μισθωτοῦ καὶ οὐχὶ ποιμένος, ὁ ἄνωθεν Μονεμβασίας, λαβὼν παρὰ τοῦ βασιλέως τὸ τοῦ Προδρόμου ἡγουμενεῖον, οὔτε μνημονεύεται παρὰ τῶν καλογήρων αὐτοῦ, οὔτε θυμιᾶται ὅλως ὁ [ἴσως ὡς] χριστιανός, ἀλλ᾽ ἔχουσιν αὐτὸν εἰς τὰ πράγματα μόνον, ὥσπερ τινὰ κούσουλον (sic)· καὶ ὁ βασιλεὺς ταῦτα μανθάνων οὐδένα λόγον ποιεῖται, ἀλλὰ καὶ μετανοεῖν ὁμολογεῖ φανερῶς ἐπὶ τῷ γεγονότι, καὶ ἐπὶ τοὺς καταθεμένους καὶ ὑπογράψαντας μετατίθησι τὴν αἰτίαν. Φεύγετε οὖν καὶ ὑμεῖς, ἀδελφοί, τὴν πρὸς τοὺς ἀκοινωνήτους κοινωνίαν καὶ τὸ μνημόσυνον τῶν ἀμνημονεύτων. Ἴδε ἐγὼ Μάρκος ὁ ἁμαρτωλὸς λέγω ὑμῖν ὅτι ὁ μνημονεύων τοῦ Πάπα ὡς ὀρθοδόξου ἀρχιερέως, ἔνοχός ἐστι πάντα τὸν λατινισμὸν ἐκπληρῶσαι μέχρι καὶ αὐτῆς τῆς κουρᾶς τοῦ γενείου· καὶ ὁ λατινόφρων μετὰ τῶν Λατίνων κριθήσεται καὶ ὡς παραβάτης τῆς πίστεως λογισθήσεται. Αἱ ἅγιαί σου εὐχαὶ εἴησαν μεθ᾽ ἡμῶν. Τῷ εὐλογημένῳ ἄρχοντι Κυρίῳ Κωνσταντίνῳ τῷ Κοντοπετρῇ καὶ τοῖς λοιποῖς πᾶσιν ἄρχουσι τοῖς ξενοδόχοις ἡμῶν μετάνοιαν καὶ τὴν ἀπὸ Θεοῦ εὐλογίαν. Ὁ Ἐφέσου Μάρκος. Ἰουνίου ιϛ΄“.

Ἐν τῷ ὑπ᾽ ἀριθμὸν 208 χειρογράφῳ τῆς ἐν Μόσχᾳ βιβλιοθήκης τῆς ἱερᾶς Συνόδου ὑπάρχει μεταξὺ τῶν συγγραμμάτων τοῦ Μάρκου καὶ σύγγραμμα ἐπιγραφόμενον ἁπλῶς „ΜΕΤΑΝΟΙΑ“, ἐν ᾧ ὑπερασπίζων ὁ συγγραφεὺς τὰ δόγματα τῆς ὀρθοδόξου Ἀνατολικῆς Ἐκκλησίας λέγει ἐν τέλει. „Οὕτω περὶ τούτων δοξάζων τε καὶ πιστεύων καὶ νῦν καὶ πρότερον Θεοῦ χάριτι, ἐπεὶ ἀνθιστάμην μέχρι τέλους ἐν τῇ Φλωρεντίᾳ, καὶ οὐδὲ γνώμην δέδωκα ἐν τῇ Συνόδῳ, οὐδὲ ἔστερξα τὰ γεγονότα, πλὴν οὐκ ἠδυνήθην ἐκφυγεῖν τοῦτο τελείως, ἀλλὰ καὶ ἄκων ὑπέγραψα ἐν τῷ ἐκεῖσε συντεθέντι ὅρῳ χειρὶ καὶ οὐ γνώμῃ· ἤδη τὴν ἐμὴν γνώμην τε καὶ ὁμολογίαν ἐγγράφως ἐκθείς, γνωρισθεῖσαν καὶ